# E08.05 Aischylos‘ Perser: 1. Stasimon als docx

| | | |
|---|---|---|
| 65 | 73 | ion. |
| πεπέρακεν μὲν ὁ περσέπτολις ἤδη | πολυάνδρου δ’ Ἀσίας θούριος ἄρχων | ⏑⏑––¦⏑⏑––¦⏑⏑–– |
| βασίλειος στρατὸς εἰς ἀν- | ἐπὶ πᾶσαν χθόνα ποιμα- | ⏑⏑––¦⏑⏑–– |
| τίπορον γείτονα χώραν, | νόριον θεῖον ἐλαύνει | ⏑⏑––¦⏑⏑–– |
| λινοδέσμῳ σχεδίᾳ πορθ- | διχόθεν, πεζονόμον τ’ ἔκ | ⏑⏑––¦⏑⏑–– |
| μὸν ἀμείψας | τε θαλάσσας[1], | ⏑⏑–– |
| Ἀθαμαντίδος Ἕλλας, | ἐχυροῖσι πεποιθὼς | ⏑⏑–– |
| πολύγομφον ὅδισμα | στυφελοῖς ἐφέταις, χρυ- | ⏑⏑–¦⏑⏑–– |
| ζυγὸν ἀμφιβαλὼν αὐχένι πόντου. | σογόνου γενεᾶς ἰσόθεος φώς. | ⏑⏑–¦⏑⏑–¦–⏑⏑–– |
| 81 | 87 | |
| κυάνεον δ’ ὄμμασι λεύσσων | δόκιμος δ’ οὔτις ὑποστὰς | ⏑⏑––⏑⏑–– |
| φονίου δέργμα δράκοντος, | μεγάλῳ ῥεύματι φωτῶν | ⏑⏑––⏑⏑–– |
| πολύχειρ καὶ πολυναύτας, | ἐχυροῖς ἕρκεσιν εἴργειν | ⏑⏑––⏑⏑–– |
| Σύριόν θ’ ἅρμα διώκων, | ἄμαχον κῦμα θαλάσσας· | ⏑⏑––⏑⏑–– |
| ἐπάγει δουρικλύτοις ἀν- | ἀπρόσοιστος γὰρ ὁ Περσᾶν[2] | ⏑⏑––⏑⏑–– |
| δράσι τοξόδαμνον Ἄρη. | στρατὸς ἀλκίφρων τε λαός. | ⏑⏑–⏑–⏑–– |
| 93 | 98 | |
| δολόμητιν δ’ ἀπάταν θεοῦ | φιλόφρων γὰρ παρασαίνει | ⏑⏑––⏑⏑–⏑– |
| τίς ἀνὴρ θνατὸς ἀλύξει; | βροτὸν εἰς ἄρκυας Ἄτα, | ⏑⏑––⏑⏑–– |
| τίς ὁ κραιπνῷ ποδὶ πήδη- | τόθεν οὐκ ἔστιν ὕπερθέν | ⏑⏑––⏑⏑–– |
| μα τόδ’ εὐπετῶς ἀνᾴσσων; | νιν ἄνατον ἐξαλύξαι. | ⏑⏑–⏑–⏑–– |
| 102 | 109 | |
| θεόθεν γὰρ κατὰ Μοῖρ’ | ἔμαθον δ’ εὐρυπόροι- | ⏑⏑––⏑⏑– |
| ἐκράτησεν τὸ παλαι- | ο[3] θαλάσσας πολιαι- | ⏑⏑––⏑⏑– |
| όν, ἐπέσκηψε δὲ Πέρσαις | νομένας πνεύματι λάβρῳ | ⏑⏑––⏑⏑–– |
| πολέμους πυργοδαΐκτους | ἐσορᾶν πόντιον ἄλσος, | ⏑⏑––⏑⏑–– |
| διέπειν ἱππιοχάρμας | πίσυνοι λεπτοδόμοις πεί- | ⏑⏑––⏑⏑–– |
| τε κλόνους | σμασι λα- | ⏑⏑– |
| πόλεών τ’ ἀναστάσεις. | οπόροις τε μαχαναῖς. | ⏑⏑–⏑–⏑– |
| 114 | 119 | |
| ταῦτά μοι μελαγχίτων | καὶ τὸ Κισσίων πόλισμ’ | –⏑–⏑–⏑– |
| φρὴν ἀμύσσεται φόβῳ, | ἀντίδουπον ᾄσεται, | –⏑–⏑–⏑– |
| ὀᾶ, Περσικοῦ στρατεύματος | ὀᾶ, τοῦτ’ ἔπος γυναικοπλη- | ⏑–¦–⏑–⏑–⏑– |
| τοῦδε, μὴ πόλις πύθη- | θὴς ὅμιλος ἀπύων, | –⏑–⏑–⏑– |
| ται κένανδρον μέγ’ ἄστυ Σουσίδος, | βυσσίνοις δ’ ἐν πέπλοις πέσῃ λακίς. | –⏑––⏑–⏑–⏑– |
| 125 | 132 | |
| πᾶς γὰρ ἱππηλάτας | λέκτρα δ’ ἀνδρῶν πόθῳ | –⏑––⏑– |
| καὶ πεδοστιβὴς λεὼς | πίμπλαται δακρύμασιν· | –⏑–⏑–⏑– |
| σμῆνος ὣς ἐκλέλοιπεν μελισ- | Περσίδες δ’ ἁβροπενθεῖς ἑκά- | –⏑––⏑––⏑– |
| σᾶν σὺν ὀρχάμῳ στρατοῦ, | στα πόθῳ φιλάνορι | –⏑–⏑–⏑– |
| τὸν ἀμφίζευκτον ἐξαμείψας | τὸν αἰχμάεντα θοῦρον εὐνα- | ⏑–⏑–⏑–⏑–– |
| ἀμφοτέρας ἅλιον | τῆρ’ ἀποπεμψαμένα | –⏑⏑–⏑⏑– |
| πρῶνα κοινὸν αἴας. | λείπεται μονόζυξ. | –⏑–⏑–– |

[1] *θαλάσσας passim dor. -α- statt att. -η- = θαλάσσης*

[2] *Περσᾶν dor. Gen.Pl. = Περσῶν*

[3] *εὐρυπόροιο ep. Gen.Sg. = εὐρυπόρου*